στρ. γʹ ὁ δ' ἄρ' ἐν Πίσᾳ ἔλσαις ὅλον τε στρατὸν
λᾷαν τε πᾶσαν Διὸς ἄλκιμος
υἱὸς σταθμᾶτο ζάθεον ἄλσος πατρὶ μεγίστῳ·
περὶ δὲ πάξαις Ἄλτιν μὲν ὅγ' ἐν καθαρῷ
διέκρινε, τὸ δὲ κύκλῳ πέδον
ἔθηκε δόρπου λύσιν,
τιμάσαις πόρον Ἀλφεοῦ

ἀντ. γʹ μετὰ δώδεκ' ἀνάκτων θεῶν· καὶ πάγον
Κρόνου προσεφθέγξατο· πρόσθε γὰρ
νώνυμνος, ἇς Οἰνόμαος ἆρχε, βρέχετο πολλᾷ
νιφάδι. ταύτᾳ δ' ἐν πρωτογόνῳ τελετᾷ
παρέσταν μὲν ἄρα Μοῖραι σχεδὸν
ὅ τ' ἐξελέγχων μόνος
ἀλάθειαν ἐτήτυμον

ἐπ. γʹ Χρόνος. τὸ δὲ σαφανὲς ἰὼν πόρσω κατέφρασεν,
ὁπᾷ τὰν πολέμοιο δόσιν
ἀκρόθινα διελὼν ἔθυε καὶ
πενταετηρίδ' ὅπως ἄρα
ἔστασεν ἑορτὰν σὺν Ὀλυμπιάδι πρώτᾳ
νικαφορίαισί τε.
τίς δὴ ποταίνιον
ἔλαχε στέφανον
χείρεσσι ποσίν τε καὶ ἅρματι,
ἀγώνιον ἐν δόξᾳ θέμενος εὖχος, ἔργῳ καθελών;

στρ. δʹ στάδιον μὲν ἀρίστευσεν, εὐθὺν τόνον
ποσσὶ τρέχων, παῖς ὁ Λικυμνίου